Σωσβατών σιγίλλιον 1677.

Αρχαιολογικαί σημειώσεις εκ Καλλιπόλεως Ε.Φ.Συλλ.
Δερκών Σωσβατών, Σηλυβρίας. κτλ. 1886 σ.
Αθ. Παπαδόπουλος Κεραμεύς. Παράρτημα 2ο
12 Ιουν. 71.

«Διά τον ναόν των Σωσβατών σώζεται κατά την χειρόγραφον νομικήν συναγωγήν του Δοσιθέου (φ. 100) το επόμενον ανέκδοτον σιγίλλιον του 1677 έτους.

Ἴσον ἀπαραλλάκτως τοῦ πατριαρχικοῦ γράμματος τῶν Σωσβατῶν.

«+ Διονύσιος ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως νέας Ῥώμης καὶ οἰκουμενικὸς πατριάρχης.
«Τὰ ἱερὰ τεμένη, θείου δικαίου τυγχάνοντα ὥσπερ τῆς ἀνθρωπίνης δουλείας ἀπηλλαγμένα διαμένουσιν· ὅθεν ἑκάστῳ καὶ μόνῳ τῷ κατὰ τόπον ἀρχιερατεύοντι προσκεκλήρωνται κατηγόρηται τῶν τῆς ἐπαρχίας αὐτοῦ ναῶν ἱερῶν, καὶ θείων ἐκκλησιῶν ἀναφαιρέτως, μηδενὸς ἔχοντος ἄδειαν ἀποσπᾶν τῆς ἐξουσίας αὐτοῦ τὰ τοιαῦτα, καὶ εἴ που εἰς ὁπωσδήποτε κατ' ἰδίαν θέλησιν, κακῶς τε καὶ ὁσίως ἀνακαλεῖν δύναται τὰ ὑπό τινος κακῶς τε καὶ ὁσίως ἀνακαλεῖν δύναται τὰ ὑπό τινος κακῶς ἐξ αὐτοῦ ἀφαιρεθέντα. Ἐπειδὴ τοίνυν παρευρεθεὶς ἤδη ἐπὶ συνόδου καὶ ὁ ἱερώτατος μητροπολίτης Σηλυβρίας καὶ ὑπέρτιμος κὺρ Ἄνθιμος ὁ ἐν ἁγίῳ

πνεύματι ἀγαπητός ἡμῶν ἀδελφός, καὶ συλλειτουρ-
γός, ἀγωγὴν ἐκίνησε κατὰ τῶν πατέρων τοῦ ἐν
τῇ Χάλκῃ νήσῳ σεβασμίου μοναστηρίου τῆς
Παναγίας προσκαλούμενος, καὶ λέγων, ὅτι κατεπεμ-
βαίνοντες [illegible] ἰδιοποιοῦνται τὴν ἐκκλησί-
αν τῆς ἁγίας Παρασκευῆς, ἣν ἔχει ἐν τῇ χώρᾳ
τῶν Ἐπιβατῶν, μήτε σταυροπήγιον οὖσαν, μή-
τε ἄλλῳ τινὶ λόγῳ διοικήσεως καθυποκειμένην
τῷ μοναστηρίῳ αὐτῶν, ἀλλ' ἀνέκαθεν ἐνοριακὴν
γνησίαν τῆς μητροπόλεως Σηλυβρίας τυγχάνου-
σαν, οὕς τινας συμπαραστάντας αὐτῷ καὶ κρι-
νομένους, ἠρωτήσαμεν, ἐὰν ἔχωσι γράμματά τι-
να δεφενδεύσεως, διασαφοῦντα τὸν τρόπον, κα-
θ' ὃν ἐξουσιάζειν ἰσχύει τὸ μοναστήριον τὴν αὐ-
τὴν αὐτήν, καὶ ἀπεκρίναντο, ὅτι, τοιαῦτα γράμ-
ματα οὐκ ἔχουσιν, ἀλλὰ Διαμαντῆς τις ἀπὸ τῆς
χώρας αὐτῆς, ὁ πρὸ ὀλίγου τελευτήσας, συγκα-
τιθέσει αὐτοῦ πεποίηκε λέγεσθαι τὴν ἐκκλησίαν
ταύτην ὑφ' ἑνὸς τῶν πατέρων τοῦ μοναστηρίου,
διὰ μικρᾶς τινος δόσεως μόνης πρὸς τὸν ἀρχιε-
ρέα, καὶ λογίζεσθαι ταύτην τοῦ μοναστηρίου
ὥστε δέδεικται προφανῶς, ὅτι, ὁ Διαμαντῆς ἐκεῖ-
νος, δυσηκόος τις ὑπάρχων ἀνήρ, καὶ ἀγράμματος,
καὶ τοὺς πρὸ ὀλίγου φθάσαντας ἀρχιερεῖς τῆς μη-
τροπόλεως ταύτης ὑποχειρίους ἔχων, τοῖς αὐτοῦ

θλίμμασιν ἐνόντας, διά τό τῆς γνώμης αὐτοῦ
θρασύτατον, ἐποίησεν ὡς ἠθέλησεν, ἐξουσιάσας τά
ἀνεξουσίαστα, καί κατεδουλώσατο ἑαυτῷ τήν
ἀδούλωτον ταύτην ἐκκλησίαν, εἴτε δι' αἰσχροκέρ-
δειαν, εἴτε δι' ἄλλην κακοβουλίαν αὐτοῦ, κἀν-
τεῦθεν ἔδοξεν αὐτῷ ἀφαρμοσθῆναι ταύτην τῇ
προστασίᾳ τρόπον τινά τοῦ μοναστηρίου, ἤ
οὕτω μικράν τινα δόσιν φορολογοῦντες τῷ ἀρχιε-
ρεῖ οἱ πατέρες τοῦ μοναστηρίου, κατακρατοῦ-
σι τήν ἐκκλησίαν ἰδιοδεσπότως, ξένον τόν ἀρ-
χιερέα λογιζόμενοι, καί κατ' οὐδένα τῆς ἐκ-
κλησίας μετέχοντες, ὅπερ ἄδικον ἐστι καί πα-
ράλογον, καί ἔξω λόγου δικαίου παντός, πρός
σφαλεράν τε ἄλλην ὁδόν καί ἐπονηρευμένον. τού-
του χάριν τοῖς ἱεροῖς κανόσιν ἑπόμενοι, τήν
ἀταξίαν καί ἱεροσυλίαν ταύτην ἐκ μέσου
ποιούμενοι, ἐνθέσμως καί δικαίως ἐπικυροῦ-
μεν, καί γράφοντες ἀποφαινόμεθα συνοδικῶς
μετά τῶν περί ἡμᾶς ἱερωτάτων ἀρχιερέων
καί ὑπερτίμων, τῶν ἐν ἁγίῳ πνεύματι ἀγα-
πητῶν ἡμῶν ἀδελφῶν, καί συλλειτουργῶν, ἵνα
ἡ ἐν τῇ χώρᾳ τῶν Ἐπιβατῶν ἐκκλησία αὕτη
τῆς ἁγίας Παρασκευῆς, ὡς ἄνωθεν, καί ἐξαρ-
χῆς κανονικῷ δικαίῳ τῆς μητροπόλεως Σηλυ-
βρίας ἦν καί διεγινώσκετο, καί οὕτω ἀπό τῆς

νῦν μέχρι παντὸς ὑπάρχῃ τῆς αὐτῆς μητροπόλεως, ἐνοριακή, καὶ γνησία ἀναφαιρέτως, καὶ ἀναποσπάστως, ταύτῃ μόνῃ καθυποκειμένη καὶ ὑπὸ τοῦ κατὰ καιροὺς ἀρχιερέως αὐτῆς διεξαγομένη, καὶ ἐξουσιαζομένη· καὶ οἱ μὲν πατέρες τοῦ μοναστηρίου ἀπέχωσι τῆς ἐξουσίας αὐτῆς, ὡς ξένοι, καὶ ἀλλότριοι, καὶ κατ' οὐδένα λόγον μετέχοντες αὐτῆς, ὁ δὲ ἱερώτατος μητροπολίτης Σηλυβρίας οὗτος, καὶ πᾶς ἄλλος, ὁ μετ' αὐτὸν κατὰ καιροὺς ἀρχιερατεύων ἐξουσιάζῃ τὴν αὐτὴν ἐκκλησίαν, ὡς ἐνοριακὴν αὐτοῦ, καὶ δεσπόζῃ αὐτῆς καὶ κυριεύῃ, καὶ ἀρχιερατικῶς προστατεύῃ, καὶ εἰσάγῃ καὶ ἐξάγῃ, ὃν ἂν ἐθελήσῃ τῶν ἱερέων ἐν αὐτῇ, καρπούμενος καὶ νεμόμενος τὸ ἐξ αὐτῆς ἐκκλησιαστικὸν δικαίωμα, καθὼς καὶ τῶν ἄλλων ἐνοριακῶν αὐτοῦ ἐκκλησιῶν, ἀναντιρρήτως, καὶ ἀνεπικωλύτως. Ὁ δ' ἂν φανῇ ἐναντίος ἢ ἀπειθής, καὶ παρήκοος τῇ συνοδικῇ ταύτῃ ἀποφάσει, ἀντιλέγων καὶ ἀντιπράττων τῷ ἀρχιερεῖ περὶ τῆς αὐτῆς ἐκκλησίας, ἱερεὺς μὲν ὢν ἀργὸς ἔστω πάσης ἱεροπραξίας, καταφρονῶν δέ, ἢ ἀφωρισμένος ἀπὸ Θεοῦ ἢ ἐστερημένος παντὸς ἐκκλησιαστικοῦ εἰσοδήματος. Ὅθεν εἰς ἔνδειξιν ἐπεδόθη τῇ αὐτῇ ἱερότητι τὸ παρὸν συνοδικὸν γράμμα. Ἐν ἔτει αωοζῳ

ἐν μηνὶ Ἰουλίῳ, ἰνδικτιῶνος ιε»